www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΑΝΑΓΙΩΤΗΝ, ΤΟΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΜΑΡΤΥΡΗΣΑΝΤΑ ΚΑΤΑ ΤΟ ΕΤΟΣ 1820

**( οὗ ἡ μνήμη τῇ 5ῃ Ἀπριλίου )**

**Ἐποιήθη**
**ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** ͵βιε΄ * 2015 ***

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΠΑΝΑΓΙΩΤΗΝ, ΤΟΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΜΑΡΤΥΡΗΣΑΝΤΑ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Πεπυρωμένος τῇ ἀγάπῃ Δεσπότου,
γενναιοφρόνως κατεφρόνησας μάρτυς,
ἀγαρηνῶν τὰ φόβητρα καὶ πάσας ἀπειλάς,
ὅθεν χαίρων ἤθλησας,
Παναγιώτη θεόφρον,
ἔνθα καὶ ὁ Κύριος,
τῷ σταυρῷ προσηλώθη,
Ὅν ἱκετεύων ὑπὲρ τῶν πιστῶν,
καθικετεύειν μὴ παύσῃ μακάριε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,

ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Δυσώπησον ὑπὲρ ἡμῶν Κύριον, Παναγιώτη.*
*Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Δεσπότην ἱκέτευε Ἰησοῦν,
σεπτὲ νεομάρτυς,
Παναγιώτη ὑπὲρ ἡμῶν,
ὡς ἔχων πολλὴν τὴν παῤῥησίαν,
ὑπενεγκὼν καρτερῶς τὸ μαρτύριον.

Ὑπὲρ τὰ ὁρώμενα καὶ φθαρτά,
Χριστὸν Παναγιώτη,
προετίμησας νουνεχῶς,
ὡς μόνον Θεὸν Αὐτὸν κηρύξας,

καὶ μυκτηρίσας τῆς Ἄγαρ δυσσέβειαν.

Σταυρὸν μαρτυρίου καθυποστάς,
ἐν Πόλει ἁγίᾳ,
Παναγιώτη θεοπρεπῶς,
Χριστῷ νῦν ἑστὼς ἐν Παραδείσῳ,
ὑπὲρ τιμώντων σε Τοῦτον δυσώπησον.

*Θεοτοκίον*

Ὡς πρόβατον Πάναγνε ἀγαθόν,
Χριστῷ Παναγιώτης,
τῷ Ποιμένι ἀκολουθῶν,
Θεάνθρωπον τέλειον κηρύξας,
ἐκ σοῦ τεχθέντα δεινῶς τεθανάτωται.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Πύλη γέγονε Μάρτυς,
πρὸς οὐρανὸν φέρουσα,
ἡ τοῦ Προφητάνακτος Πύλη,
ἔνθα ἐνήθλησας·
διὸ ἱκέτευε,
τοῦ Παραδείσου ἡ πύλη,
ἀνοιγῆναι ἅπασι,
μνήμην τιμῶσί σε.
Ἡ ναοῦ Σολομῶντος,
ὃν ἀσεβεῖς τέμενος,
ἔχουσιν ἁπλῆ εἴσοδός σου,
αἰτία γέγονε,
τῆς σῆς ἀθλήσεως,
τέκνον Χριστοῦ Παναγιώτη,

σοῦ ἀνακηρύξαντος,
Τούτου Ἀνάστασιν.

Στεῤῥοτάτῃ σου γνώμῃ,
τὸν Ἰησοῦν τέλειον,
ὡς Θεὸν καὶ ἄνθρωπον ὄντα,
σοφῶς ἐκήρυξας,
ὅθεν σε ἄνομοι,
ὑποβαλόντες βασάνοις,
Παναγιώτη στέφανον,
σοὶ ἐνεπλέξαντο.

*Θεοτοκίον*

Ὃν βαστάσασα κόλποις,
βρεφοπρεπῶς Δέσποινα,
τοῦτον Παναγιώτης ὁ μάρτυς,
Θεὸν ἐκήρυξε,
καὶ πλάνην ἤλεγξε,
τοῦ ἀντιχρίστου Μωάμεθ,
οὗ σβεσθείη ὄνομα,
τὸ δυσεβέστατον.

Διάσωσον,
ὦ Νεομάρτυς Κυρίου πάσης ἀνάγκης,
καὶ ἐπηρείας ἡμᾶς τοῦ ἀλάστορος,
τοὺς ὅσοι πόθῳ ἐκ ψυχῆς,
τὴν σὴν πάντιμον μνήμην τιμῶμεν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,

καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Χριστοῦ τοῦ Θεοῦ,
τὴν πίστιν ἀνεκήρυξας,
καὶ Ἄγαρ δεινῆς,
τὴν πλάνην ἐμυκτήρισας·
ὅθεν στέφος εἴληφας,
Παναγιώτη τοῦ χριστομάρτυρος,
καθικετεύων τὸν Θεόν,
ὑπὲρ τῶν πόθῳ γεραιρόντων σε.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Νουνεχῶς ἐμυκτήρισας,
πλάνην Παναγιώτη τῶν τυραννούντων σε,
καὶ Χριστοῦ θείαν Ἀνάστασιν,
μεγαλοφωνότατα ἐκήρυξας.

Ὑψηλὸν ἔχων φρόνημα,
μάρτυς Παναγιώτη πίστιν ἐτήρησας,
μεθ' ἧς πάντας καταξίωσον,
βίον περαιῶσαι τοὺς τιμῶντάς σε.

Πάλαι φθόνῳ ἐσταύρωσαν,
μάρτυς Παναγιώτη ἑβραῖοι Κύριον,
καὶ σὺ φθόνου θῦμα γέγονας,
οὗπερ χριστωνύμους διαφύλαξον.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν κινδύνοις καὶ θλίψεσιν,
ἔχομέν σε Μῆτερ θερμὴν προστάτιδα,
διαλύουσαν τὰ ἔνεδρα,
καὶ τοὺς πειρασμοὺς τοῦ πολεμήτορος.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ῥῦσαι πειρασμῶν, Παναγιώτη τοὺς ὑμνοῦντάς σε, καὶ σταθεροὺς ἡμᾶς συντήρησον, ὅπως Δεσπότην, μὴ προδώσωμεν πτοούμενοι.

Ἤθλησας στεῤῥῶς, Παναγιώτη θείου Πνεύματος, ἔχων τὴν δύναμιν ὡς ἔφη ὁ Χριστός, ἣν παρὰ Τούτου, καὶ ἡμῖν ταύτην ἐξαίτησαι.

Μάρτυς γεγονώς, τῆς Κυρίου Ἀναστάσεως, πρὸ ἀσεβούντων Παναγιώτη ἀληθής, μάρτυρας ταύτης, καὶ ἡμᾶς δεῖξον πρεσβείαις σου.

*Θεοτοκίον*

Ὡραῖος κάλλει, ὁ Υἱός σου ἔστι Πάναγνε, Οὗπερ ὀπίσω ἐπορεύθησαν πιστῶς, ὡς Παναγιώτης, χοροὶ Μαρτύρων ἀναρίθμητοι.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν.*

Νικῆσαί σε,
ἀσεβεῖς οἰόμενοι,
ὑποσχέσεσιν ἡδίσταις τοῦ βίου,
εὗρον στεῤῥόν,
Παναγιώτη σε τεῖχος,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


διὸ καὶ πλείσταις βασάνοις ὑπέβαλον,
ἃς ἤνεγκας ὡς ἀπαθής,
τοῖς πιστοῖς γεγονὼς τύπος ἄριστος.

Κλονούμενον,
Παναγιώτη ἔνδοξε,
ἐκ ποικίλων πειρασμῶν στήριξόν με,
καὶ ὥσπερ σύ,
δίδαξόν με τοὺς τρόπους,
δι' ὧν νικᾷν τὸν ἐχθρὸν δυνηθήσομαι,
καὶ πῶς με δεῖ τοῦ Ἰησοῦ,
τὸν σταυρὸν ἐν χαρᾷ φέρειν πάντοτε.

Ὑπέμεινας,
ὥσπερ ἄλλου πάσχοντος,
Παναγιώτη ἀσεβῶν τὰς βασάνους,
ἀποσκοπῶν,
εἰς τὸ Πάθος Κυρίου,
ὅπερ ἐν Πόλει ἁγίᾳ ὑπήνεγκεν,
καὶ οὕτω δέδωκεν ἡμῖν,
ἀληθῶν μαθητῶν Αὐτοῦ πρότυπον.

*Θεοτοκίον*

Ῥυπώσαντι,
τῆς ψυχῆς τὸ ἔνδυμα,
ὅ μοι δέδωκε Χριστὸς Θεοτόκε,
παρακαλῶ,
ὀχετοὺς δὸς δακρύων,
ὅπως αὐτὸ ἐκκαθάρω ὁ ἄθλιος,
καὶ οὕτω καταξιωθῶ,
Βασιλείας Θεοῦ ὁ ἐλάχιστος.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Διάσωσον,
ὦ Νεομάρτυς Κυρίου πάσης ἀνάγκης,
καὶ ἐπηρείας ἡμᾶς τοῦ ἀλάστορος,
τοὺς ὅσοι πόθῳ ἐκ ψυχῆς,
τὴν σὴν πάντιμον μνήμην τιμῶμεν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ὡς Χριστὸς θῦμα φθόνου γεγένησαι,
Παναγιώτη καὶ ἤθλησας ἄριστα,
ἀσεβούντων,
τὰς ὑποσχέσεις καὶ τὰς ἀπειλάς,
ὡς χοῦν,
καταφρονήσας ἀνδρικῶς,
ἐν πόλει Ἱερουσαλήμ,
πλάνην Ἄγαρ κατῄσχυνας·
ὅθεν ἐν παῤῥησίᾳ,
πρέσβευε τῷ Κυρίῳ,
ὑπὲρ ἡμῶν τῶν εὐλαβῶς,
γεραιρόντων τὴν μνήμην σου.

Καὶ εὐθὺς τὸ Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

www.tezaurliturgic.ro


**Εὐαγγέλιον**

Ἐκ τοῦ κατὰ Λουκᾶν (κα´ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Μάρτυρός σου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Υἱὸς Ἀναστάσεως,
ὢν Παναγιώτη τρισμάκαρ,
πλάνην τὴν ψυχόλεθρον,
ἐν τῇ Ἱερουσαλὴμ ἐμυκτήρισας.
Καὶ ζωὴν πρόσκαιρον,
καὶ τὰς ὑποσχέσεις,
ἀσεβούντων κατεφρόνησας,
μόνον τὸν Κύριον,
ἔχων ὡς ψυχῆς σου θησαύρισμα.
Διὸ τέλειον ἄνθρωπον
καὶ Θεὸν Αὐτὸν διεκήρυξας.
Ὅθεν κεφαλήν σου,
τμηθεὶς τὴν ἱερὰν καὶ παρεστώς,
νῦν τῇ Τριάδι ἱκέτευε,
ὑπὲρ τῶν τιμώντων σε.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἱερώτατον θῦμα,
τῆς ἀγάπης Κυρίου μάκαρ γενόμενος,
ἐν πόλει τῇ Ἁγίᾳ,
τὴν κάραν σου ἐτμήθης,
καὶ τὸ στέφος ἀπείληφας,
καθικετεύων θερμῶς,
ὑπὲρ τῶν σὲ τιμώντων.

Οὐδαμῶς ἐπτοήθης,
δυσσεβούντων βασάνους καὶ τὰ μαρτύρια,
παμμάκαρ Παναγιώτη,
ἀλλὰ Χριστὸς ἀνέστη,

ψάλλων κάραν σου τέτμησαι,
καὶ ἱκετεύεις θερμῶς,
ὑπὲρ φιλομαρτύρων.

Νέος ὢν ἡλικίαν,
γηραιόν σου τὸ φρόνημα Μάρτυς ἔσχηκας,
διὸ ἐν σωφροσύνῃ,
κατέβαλες τὴν πλάνην,
καὶ Χριστῷ συνεσταύρωσαι,
Ὃν ἱκετεύειν ἀεί,
ὑπὲρ ἡμῶν αἰτοῦμεν.

*Θεοτοκίον*

Παναγία Παρθένε,
σὸν συνώνυμον Μάρτυρα ἐκραταίωσας,
βασάνους ὑπομεῖναι,
καὶ ἀσεβεῖς αἰσχύναι,
ταῖς σοφαῖς ἀποκρίσεσιν,
διὸ σοφίαν αὐτοῦ,
δὸς καὶ ἡμῖν εὐχαῖς σου.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Ἀγάπην δίδου,
πρὸς τὸν Χριστὸν Νεομάρτυς,
τοῖς τιμῶσί σου μνήμην τὴν ἁγίαν,
ὅπως δυνηθῶμεν,
Αὐτῷ ἀκολουθῆσαι.

Νίκην παράσχου,
κατὰ παθῶν τῶν ποικίλων,

Παναγιώτη πᾶσι χριστωνύμοις,
ἵνα εὐχαρίστους,
ὕμνους προσφέρωμέν σοι.

Ἄγαρ τῶν τέκνων,
ὀφρὺν ταπείνωσον Μάρτυς,
καὶ ἐξαίτει τὸν φωτισμὸν Κυρίου,
ὅπως ἀπαλλαγῶσι,
τῆς ψυχοφθόρου πλάνης.

*Θεοτοκίον*

Γέγονα οἶκος,
ἀνομιῶν Θεοτόκε,
καὶ λυπῶ τὸν φιλάνθρωπον Υἱόν σου,
Ὃν παρακαλῶ σε,
ὑπὲρ ἐμοῦ δυσώπει.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἱεροσολυμίτης,
πόλεως τῆς ἄνω,
Παναγιώτη γεγένησαι κάτοικος,
ἔνθα σὺν πᾶσι Ἁγίοις,
ἡμᾶς μνημόνευε.

Ὡραῖος ὡς νυμφίος,
ἐστεφανωμένος,
διὰ στεφάνου Μαρτύρων ἐκέρδησας,
Παναγιώτη Κυρίου,
θεῖον Παράδεισον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῶν ὅσοι σε καλοῦσι,
πρέσβυν Παναγιώτη,
πρὸς τὸν Δεσπότην αἰτήσεις ἐκπλήρωσον,
καὶ Βασιλείας τῆς ἄνω,
πολίτας ποίησον.

Ἤνεγκας ἀσεβούντων,
τὰς σκληρὰς βασάνους,
καὶ κεφαλὴν Παναγιώτη ἐκτέτμησαι,
ἡμῖν ἀγάπης Κυρίου,  τύπος γενόμενος.

*Θεοτοκίον*

Ἀνάξιος ὑπάρχων,
τῆς θείας ἀγάπης,
σὲ ὥσπερ πρέσβιν Κυρίῳ προβάλλομαι,
ὅπως Αὐτὸν ἱλεώσῃς, Μῆτερ ἀνύμφευτε.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Μεγαλυνάρια

Χαίροις νεομάρτυς τοῦ Ἰησοῦ,
ὅστις ἐναθλήσας,
ἐν Ἁγίᾳ πόλει Σιών,
γέγονας πολίτης,
Σιὼν ἐπουρανίου,
ἔνθα ὦ Παναγιώτη,
βλέπεις τὸν Κύριον.

Πλάνην μυκτηρίσας ἀγαρηνῶν,
τὴν τοῦ Θεοῦ Λόγου,
ἀνεκήρυξας θαυμαστῶς,
ὥσπερ θεολόγος,
φρικτὴν Οἰκονομίαν,
καὶ χαίρων Παναγιώτη,
κάραν σου τέτμησαι.

Στέφανον τῆς δόξης ἀπολαβών,
θεῖε νεομάρτυς,
καὶ Κυρίῳ νῦν παρεστώς,
μέμνησο τῶν ὅσοι,
τιμῶσί σου τὴν μνήμην,
ἔνδοξε Παναγιώτη,
καὶ σὲ γεραίρουσι.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ,
οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία,
τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.΄ Ὅτε ἐκ τοῦ ξύλου σε.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πάντων κατεφρόνησας σοφῶς,
τῶν ἡδέων τούτου τοῦ κόσμου,
ὡς Μαργαρίτην εὑρών, μάρτυς τὸν πολύτιμον,
διὸ ὑπέστης ἑκών, κεφαλῆς τὴν ξιφότμησιν,
ἐν Πόλει Ἁγίᾳ,
δοὺς ὥσπερ θυμίαμα, ταύτην εὐῶδες Χριστῷ,
Ὃν ὡς ἀγαθὸν Παναγιώτη,
πρέσβευε ὑπὲρ τῶν τιμώντων,
τὴν ὑπὲρ Αὐτοῦ σεπτήν σου ἄθλησιν.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε,
πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾿ εὐχῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


## Στίχοι

*Τοῦ Παναγίου νεομάρτυς Κυρίου,*
*Ὑπὲρ πιστῶν πρέσβευε, Παναγιώτη.*


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ